4 Κρητικὸν τάμνε πέλαγος·
5 τηλαυγέϊ γὰρ ἐν φᾱ́ρεϊ
βορήϊαι πίτ|νον αὖραι
κλυτᾶς ἕκατι π̣[ε]λεμαίγιδος Ἀθάνας·
col 38 (33) 8 κνίσεν τε Μίνωϊ κέαρ
ἱμεράμπυκος θεᾶς
10 Κύπ|ριδος [ἁ]γ̣|ν̣ὰ δῶρα·
χεῖρα δ᾽ οὐ[κέτ]ι̣ παρθενικᾶς
ἄτερθ᾽ ἐράτ̣υ̣εν, θίγεν
13 δὲ λευκᾶν παρηΐδων·
βόασέ τ᾽ Ἐρίβοια χαλκο-
θώρακα Πανδίονος
16 ἔκγονον· ἴδεν δὲ Θησεύς,
μέλαν δ᾽ ὑπ᾽ ὀφ|ρύων
18 δίνασεν ὄμμα, καρδίαν τέ οἱ
σχέτ|λιον ἄμυξεν ἄλγος,
20 εἶρέν τε· „Διὸς υἱὲ φερτάτου,
21 ὅσιον οὐκέτι τεᾶν
ἔσω κυβερνᾶις φρενῶν
23 θ[υμόν]· ἴσχε μεγαλοῦχον ἥρως βίαν.
1 ὅ,τι μὲν ἐκ θεῶν μοῖρα παγκρατὴς